## XXVI. (6653—1145), mense martio, ind. VIII.

*Imperator Manuel Comnenus precantibus monachis confirmat exemptiones colonorum monasterii in insula Lero concessas ab Alexio I. Comneno, donatque ei alios sex colonos exemptos a tributis.*

1. Δέησις Θεοκτίστου μοναχοῦ καὶ καθηγουμένου τῆς μονῆς πρὸς τὸν αὐτοκράτορα Μανουὴλ Κομνηνόν.

† Τολμῶντες οἱ ἀνάξιοι καὶ εὐτελεῖς δοῦλοι τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου δεόμεθα, δέσποτα ἡμῶν ἅγιε· ὁ ἐν βασιλεῦσιν ἀείμνηστος βασιλεὺς καὶ πάππος τῆς θεοστεφοῦς καὶ ἁγίας βασιλείας σου, κυρὸς Ἀλέξιος ὁ Κομνηνός, ἀναμαθὼν τὴν προσοῦσαν ἡμῖν ἔνδειαν καὶ ἀπορίαν καὶ αὐτῶν τῶν ἀναγκαίων ὑστέρησιν, παντοίως ἐχειραγώγει ἡμᾶς, καὶ μετὰ τῶν ἄλλων δὲ πασῶν ἐλεημοσυνῶν, ὧν πρὸς ἡμᾶς ἐνεδείξατο, καὶ ἐξκουσσείαν παροίκων δεκαδύο ἐλευθέρων τε καὶ ἀτελῶν καὶ μήτε γῆν ἰδίαν ἐχόντων, μήτε τοῦ δημοσίου ἐδωρήσατο ἡμῖν, ὥστε ἐνοικίσαι αὐτοὺς ἐν τοῖς προσοῦσιν ἡμῖν ἀκινήτοις ἐν τῇ νήσῳ Λέρνῳ, οὓς καὶ ἐνοικίσαντες καὶ μέχρι τῆς δεῦρο κατέχοντες ὑπερευχόμεθα μὲν καὶ τοῦ ἀειμνήστου κράτους ἐκείνου καὶ τῆς θεοστεφοῦς βασιλείας σου, οὐ μικρῶς δὲ καθ' ἕκαστον χρόνον ὀχλούμενοί τε καὶ διασειόμενοι παρὰ τῶν κατὰ καιροὺς πρακτόρων τῆς νήσου Σάμου διὰ τὸ μὴ ῥητῶς ἐν τῷ γεγονότι ἡμῖν παρὰ τοῦ ἀειμνήστου πάππου τῆς βασιλείας σου χρυσοβούλλῳ σιγιλλίῳ περὶ τῆς ἐξκουσσείας τῶν τοιούτων παροίκων ζευγαράτους αὐτοὺς ὀνομάζεσθαι, ἀλλ' ἁπλῶς παροίκους τῷ κοινῷ λιμένι καὶ σωτῆρι πάντων τῶν χειμιζομένων τῷ θεοστεφεῖ κράτει τῆς βασιλείας σου, προστρέχομεν καὶ δεόμεθα γενέσθαι ἡμῖν τίμιον καὶ προσκυνητὸν αὐτῆς πρόσταγμα, τοῦ μηκέτι ὄχλησίν τινα ὑφίστασθαι παρὰ τῶν πρακτόρων τῆς Σάμου ἕνεκεν τῶν προσόντων ἡμῖν δώδεκα παροίκων ζευγαράτων. πρὸς ἐπὶ τούτοις δεόμεθα καὶ εἰσέτι ὑφαπλωθῆναι ἡμῖν τὸν ἔλεον τῆς βασιλείας σου καὶ βραβεῦσαι ἡμῖν καὶ ἑτέρους παροίκους ζευγαράτους ἀτελεῖς, καὶ μήτε γῆν ἰδίαν ἔχοντας, μήτε τῷ δημοσίῳ πάντως ἐπεγνωσμένους, ὅσους ἐκ θεοῦ ὁδηγηθῇ, ὥστε ἐνοικίσαι αὐτοὺς ἐν τοῖς οὖσιν ἡμῖν οὐδαμινοῖς ἀκινήτοις ἐν τῇ νήσῳ Λέρνῳ, καὶ οὐ παυσόμεθα καὶ αὐτοὶ ποιεῖν καθ' ἑκάστην ἡμέραν τρισάγιον ὑπὲρ τῆς βασιλείας σου καὶ θερμῶς αὐτῆς ὑπερεύχεσθαι, ἧς ὡς δοῦλοι ἀνάξιοι τολμήσαντες ἐδεήθημεν †.

† Δέησις Θεοκτίστου μοναχοῦ εὐτελοῦς καὶ τῶν λοιπῶν μοναχῶν τῶν ἐν τῇ δουλικῇ σου μονῇ τῇ ἐν τῇ νήσῳ Πάτμῳ δούλων ἀναξίων. †

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε. Γ. Λ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 200

**II. Λύσις Μανουὴλ Κομνηνοῦ ἀπολυθεῖσα ἐπὶ τῇ ὑπομνήσει Θεοκτίστου μοναχοῦ καὶ καθηγουμένου τῆς μονῆς.**

† Δωρεῖται ἡ βασιλεία μου τῇ καθ' ὑμᾶς σεβασμίᾳ μονῇ διὰ τοῦ παρόντος ταύτης προστάγματος, σιγιλλίου τόπον ἐπέχειν ὀφείλοντος, ἐπέκεινα τῆς τῶν προδωρηθέντων αὐτῇ, ὡς ὑπεμνήσατε, δώδεκα παροίκων ἐξκουσσείας παρὰ τοῦ ἐν εὐσεβεῖ τῇ λήξει γενομένου βασιλέως καὶ πάππου τῆς βασιλείας μου καὶ ἑτέρων ἓξ παροίκων ζευγαράτων ἐξκουσσείαν, ὀφειλόντων προσκαθίσαι ἐπὶ τοῖς διαφέρουσι ταύτῃ κτήμασι κατὰ τὴν νῆσον Λέρνον, ἐλευθέρων μέντοι καὶ ἀδωρήτων καὶ μηδενὶ δημοσιακῷ ὑποκειμένων λειτουργήματι, μήτε πρακτικοῖς τε τοῦ δημοσίου ἀναγεγραμμένων, μήτε γῆν δημοσιακὴν κατεχόντων· καὶ διορίζεται ἐξκουσσεύεσθαι καὶ τοὺς τοιούτους ἓξ παροίκους ζευγαράτους τῆς τοιαύτης μονῆς ἀπὸ πάσης καὶ παντοίας δημοσιακῆς εἰσπράξεώς τε καὶ ἀπαιτήσεως, αὐτοῦ τε τοῦ ζευγολογίου καὶ παντοίας ἀγγαρείας νῦν τε οὔσης καὶ ἐς ὕστερον ἐπινοηθησομένης καὶ κατὰ τὸ καθόλου τῆς τοιαύτης ἐξκουσσείας κεφάλαιον καὶ παρὰ μόνης τῆς τοιαύτης μονῆς δεσπόζεσθαι εἰς τὸν αἰῶνα τὸν ἅπαντα τῇ ἐμφανείᾳ καὶ μόνῃ τῆς παρούσης λύσεως τῆς βασιλείας μου, ἣ καὶ τοῖς προσφόροις σεκρέτοις καταστρωθήσεται καὶ αὖθις ἀναστραφήσεται τῷ μέρει τῆς μονῆς εἰς ἀσφάλειαν, ἀρκεῖν ὀφείλουσα καὶ ἀντὶ χρυσοβούλλου γραφῆς †.

† Τό· μηνὶ μαρτίῳ ἰνδικτιῶνος η´ δι' ἐρυθρῶν γραμμάτων τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς. †

† Εἶχε δὲ καὶ τό· διὰ τοῦ Πεπαγωμένου Ἰωάννου· καὶ τό· κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ κατὰ μῆνα ἀπρίλιον, ἰνδικτιῶνος η´ διὰ Θεοδώρου τοῦ Σπονδίλη. καὶ τό· κατεστρώθη ἐν τῷ σεκρέτῳ τῷ ἐπὶ τῶν οἰκειακῶν μηνὶ ἀπριλίῳ ἰνδικτιῶνος η´ διὰ τοῦ Ῥωμανάκη. καὶ τό· κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ τῶν εὐαγῶν σεκρέτων μηνὶ ἰουνίῳ ἰνδικτιῶνος η´, καὶ τό· κατεστρώθη ἐν τῷ σεκρέτῳ τῆς βασιλικῆς σακέλλης μηνὶ ἰουνίῳ ἰνδικτιῶνος η´. καὶ τό· κατεστρώθη ἐν τῷ σεκρέτῳ τῶν ἐπὶ τῶν βεστιαρίων μηνὶ ἰουνίῳ ἰνδικτιῶνος η´ διὰ τοῦ Κο . . . . . †

† Ὁ κριτὴς τοῦ βήλου καὶ κοιαίστωρ Βασίλειος ὁ Πεκούλης τὸ παρὸν ἴσον τῷ ἐμφανισθέντι μοι πρωτοτύπῳ ἰσάζον εὑρὼν ὑπέγραψα †.

† Ὁ κριτὴς τοῦ βήλου καὶ ἐπὶ τοῦ ἱπποδρόμου Ἰωάννης ὁ . . . . . τὸ παρὸν ἴσον τῷ ἐμφανισθέντι μοι πρωτοτύπῳ ἰσάζον εὑρὼν ὑπέγραψα †.

*Exemplar. chart. Flor. II. nro 10.*

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΙΣ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟ ΘΕΟΔΟΣΙΟΥ ΛΕΓΚΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Ε.ΥΓΑ της ΚΤ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XXVII. 6666—1157, die 23 mensis septembris, ind. VI.

*Testamentum abbatis Theoctisti.*

† Ὁ εὐτελὴς Θεόκτιστος μοναχὸς ὁ τῆς Πάτμου.

† Ἐπειδήπερ ἄνθρωπος ὢν καὶ αὐτὸς θάνατον κατακριθείς, ὥσπερ ἄρα καὶ πάντες γεννητοὶ ἄνθρωποι διὰ τὴν τῆς πρώτης ἐντολῆς παράβασιν [ἤδη] τὸ χρεὼν ἀποτιννύω, τὴν σήμερον δεῖν ᾠήθην μικρά τινα προσλαλῆσαι καὶ διατυπώσασθαι ὑμῖν [τοῖς ἀγαπητοῖς ἐν κυρίῳ ἀδελφοῖς] καὶ τέκνοις μου, παρόντος ἤδη κατ' εὐδοκίαν θεοῦ καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Λέρου [κυροῦ Κωνσταντίνου, . . . . . . . . . . .] πατρικῶς διαλεχθῆναι [ὑμῖν] τοῖς φιλτάτοις. ἀλλ' ἐπεὶ ἐξαίφνης ἧκεν ὡς κλέπτης ὁ πανδαμάτωρ θάνατος πρὸς ἡμᾶς καὶ τὴν ἰσχὺν καθάπαξ ἐξέκοψε καὶ τὴν φωνὴν ἐπεσχέθην, καὶ οὐχ οἷός τέ εἰμι διαρθροῦν καλῶς τὰ καλούμενα τῆς γλώττης καὶ τῶν φωνητικῶν ὀργάνων τῷ σφοδρῷ πυρετῷ ἀθροώτατα φρυγέντων, πλὴν ἀλλ' ἔτι τοῦ νοὸς ἐρρωμένου τυγχάνοντος καὶ τῶν φρενῶν μου σώων καθισταμένων μέχρι τῆς ἄρτι ὥρας, πειράσομαι ὡς οἷόν τέ μοί ἐστι διὰ βραχέων συνοπτικῶς τὰ κατ' ἐμαυτὸν ἐκθέσθαι ὑμῖν, ποθεινότατοι πατέρες καὶ ἀδελφοί.

Ἔγωγε τοίνυν ἐπὶ νέᾳ ἔτι τῇ ἡλικίᾳ καὶ ἁπαλῇ νοῦν ἔσχον ἐκστῆναι κόσμου καὶ βιῶσαι μοναχικῶς, ὅπερ δὴ καὶ ὡς ἐξόν μοι πέπρακται, καὶ τῆς πατρίδος ἀπαναστὰς τὴν Παλαιστίνην κατέλαβον, ἐν ᾗ καὶ γέροντά τινα ἐν ἀρετῇ βιοῦντα εὑρὼν οὐκ ὀλίγον χρόνον διέτριψα μετ' αὐτοῦ, τῷ αὐτοῦ, ὡς δυνατόν, βουλήματι . . . . ἀκολουθῶν διὰ κύριον. διὰ δὲ τὰς τῶν Σαρακηνῶν ἐκεῖσε συνεχεῖς ἐφόδους καὶ ἐπηρείας τῶν ἐκεῖθεν ἀπάρας πρὸς τὸν πανοσιώτατον μοναχόν, κυρὸν Γεώργιον καὶ ἡγούμενον τῆς κατὰ τὴν νῆσον Κύπρον εὐαγεστάτης μονῆς, ἣ καὶ Κουτζουβεινίτου ἐπονομάζεται, διὰ ταχέος ἐφοίτησα τῆς ἀγαθῆς αὐτοῦ με φήμης συνωθησάσης. τούτου δὲ μετ' οὐ πολὺ πρὸς κύριον ἐκδημήσαντος καὶ τὰς τιμίας εὐχὰς αὐτοῦ συνοδοιπόρους λαβὼν ἐξῆλθον τῶν ἐκεῖσε καὶ παροδεύων ἐνταῦθα, οὐκ οἶδ' ὅπως τὴν νῆσον ταύτην τῆς Πάτμου κατέλαβον καὶ πολλοὺς μὲν γέροντας τιμίους ἐν ταύτῃ ἐφευρηκώς, κατ' ἐξαίρετόν γε μὴν καὶ τὸν τρισόλβιον μοναχὸν κυρὸν Ἰωσὴφ τὸν Ἰασίτην διαλάμποντα τότε τῇ ἀρετῇ θεασάμενος καὶ ταῖς αὐτοῦ ἡσθεὶς ἀγαθαῖς ἐργασίαις καὶ παραινέσεσι, δεῖν ἔκρινα σὺν αὐτῷ διαμένειν καὶ ὡς πατρὶ πειθαρχεῖν ἐν πάσαις ταῖς λοιπαῖς τῆς ζωῆς μου ἡμέραις. καὶ αὐτοῦ συνευδοκοῦντος τοῦτο καὶ ἀποδεχομένου τὰ μάλιστα, εἰσήλθομεν δὲ ἄμφω εἰς τὴν βασιλίδα τῶν πόλεων καὶ δι' αἰτήσεως αὐτοῦ τοῦ μοναχοῦ κυροῦ Ἰωσὴφ ἀνελαβόμεθα παρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου

τὸν χρυσόβουλλον λόγον τὸν παρακελευόμενον δίδοσθαι ἡμῖν ἐτησίως ἀπὸ τῆς νήσου Κρήτης ψυχικὸν αὐτοῦ σίτου μοδίους τριακοσίους· μετὰ δὲ τὴν τελευτὴν τοῦ μοναχοῦ κυροῦ Ἰωσήφ, παραιτησαμένου ἑκοντὶ τὴν τῆς μονῆς προστασίαν τοῦ μοναχοῦ κυροῦ Σάβα, ἐμὲ οἱ ἀδελφοὶ κοινῇ ψήφῳ κατὰ τὴν διάταξιν τοῦ ἁγίου ἡμῶν πατρός, μοναχοῦ κυροῦ Χριστοδούλου, εἰς τὸν τῆς ἡγουμενείας θρόνον, ὡς οὐκ ἐχρῆν, ἀνεβίβασαν, τοῦ δὲ βασιλέως κυροῦ Ἀλεξίου τὸν βίον ἀπολιπόντος καὶ τοῦ υἱοῦ αὐτοῦ κυροῦ Ἰωάννου τοῦ Κομνηνοῦ βασιλεύσαντος, εἰσῆλθον αὖθις μετὰ τῶν ὑπ' ἐμὲ ἀδελφῶν ἐν τῇ βασιλευούσῃ καὶ ἐπορισάμεθα παρ' αὐτοῦ τοῦ βασιλέως κυροῦ Ἰωάννου προσθήκην σίτου μοδίους διακοσίους δι' ἐγγράφου προστάξεως ἤγουν σιγιλλίου, χρυσοβούλλου λόγου [τόπον] ἐπέχοντος, ἐπιβραβευσάσης μοι τῆς αὐτοῦ βασιλείας καὶ νομίσματα τρικέφαλα προτιμηταῖα κδ' ἄχρι καὶ τέλους τῆς ἐν τῷ παρόντι μου βίῳ ζωῆς. παρελθόντος δὲ καὶ τούτου τοῦ βασιλέως καὶ τοῦ κυροῦ Μανουὴλ τοῦ νῦν βασιλεύοντος τῆς βασιλείας κρατήσαντος εἰσῆλθον πάλιν μετὰ τοῦ μοναχοῦ κυροῦ Ἀναστασίου ἐν τῇ βασιλευούσῃ καὶ τῶν ὑπ' ἐμὲ μοναχῶν *(sic)* καὶ παρ' αὐτοῦ ὡσαύτως ἐπορισάμεθα σιγίλλιον ἕτερον, χρυσοβούλλου λόγου [τόπον] ἐπέχον, εἰς προσθήκην ἑτέρου σίτου μοδίους διακοσίους καὶ ἑτέρων νομισμάτων τρικεφάλων προτιμηταίων κδ', ἃ καὶ λαμβάνειν ἡ μονὴ ἀπὸ τῆς αὐτῆς νήσου Κρήτης εἰς τὸ διηνεκές, μέχρις ἂν καὶ συνίσταται, ἡ αὐτοῦ θεοπρόβλητος ἐβράβευσε βασιλεία· σὺν τούτοις δὲ καὶ ὅσους κόπους καὶ θλίψεις καὶ πειρασμοὺς καθυπέστην ἐνταῦθα, τῆς μονῆς εἰς ἅπαν ἀντιποιούμενος, ὑμεῖς πάντες ἐπίστασθαι καὶ αὐτὴ ἡ ἐξ ἔργων ἀπόδειξις βεβαιοῖ· καὶ τοῦτο δὲ δηλοποιῶ πρὸς ὑμᾶς τοῦ θεοῦ μοι ἄνωθεν ἐφορῶντος, ὡς ἐγγύς που ἄρτι τῶν τριάκοντα χρόνων ὑπάρχοντος μου ἐν τῇ ἀρχῇ, οὐ μέμνημαί τι τῶν τῆς μονῆς νοσφισάμενος λαθραίως τῶν ἀδελφῶν ἄχρι καὶ τοῦ τυχόντος ἢ πρὸς ἰδίους τι τῶν ταύτης νομισμάτων ἢ πραγμάτων ἐπέδωκα ἢ ἄλλως πως εἰς ἰδίαν ἄλογον θεραπείαν ἐκ τῶν αὐτῆς κατηνάλωσα, ἀλλ' ἐπελθούσης τῆς τῶν Σαρακηνῶν ἐφόδου τῶν ἐξ Ἱσπανίας τὸ κατ' ἀρχὰς κατὰ θεοῦ παραχώρησιν καὶ τὴν μονὴν ἐναρξαμένων πολιορκεῖν ἐδόθησαν κοινῇ γνώμῃ τῶν πάντων πρὸς τούτους, ἅπερ δὴ καὶ γινώσκετε. μετὰ δὲ ταῦτα κατεπεμβαίνοντες ἡμῖν οἱ κουρσάριοι ποικίλας καὶ ματαίας ἀγωγὰς ἐπεγείροντες, ὅ τε Ἰεφραὶ δηλονότι καὶ οἱ λοιποὶ καὶ αὐτοὶ τὰ περιόντα τῇ μονῇ προσαφήρπαζον, εἰς δὲ τὴν παραθήκην τοῦ Στραβορωμανοῦ τὰς ἑβδομήκοντα λίτρας δηλαδὴ τοῦ χρυσίου καὶ τὰς ὀκτὼ ὁμοίως τῶν ἀνθρώπων αὐτοῦ τῶν λεγομένων Βοτανίων διεγνώσθη τοῖς πᾶσιν, ὅτι ὁ Πηγονίτης, ὁ ἐν τῇ Σάμῳ πράττων, πρόσταγμα βασιλικὸν πορισάμενος καὶ ἐλθὼν ἐν τῇ μονῇ ἀνελάβετο πάντα, μὴ ἐάσας τι ἐν αὐτῇ, ἀλλὰ μᾶλλον καὶ τὴν μονὴν οὐχ ἧττον καὶ αὐτὸς ἐζημίωσεν, οὐ μόνον

τότε, ἀλλὰ καὶ διαφόρως καὶ ἄλλας πλείστας ζημίας καὶ καινοτομίας ὑπέστη κατὰ διαφόρους καιρούς, καὶ εἴ τι περιῆν αὐτῇ κατηνάλωται καὶ νῦν οὐκ ἔστι πλέον ἐν τῇ μονῇ νομισμάτων εἶδος ἢ ἴδιον ἢ ἀλλότριον. ὡς ἡ ἐμὴ συνείδησις καὶ ὁ θεὸς μαρτυρεῖ καί τινες γινώσκουσι ἐξ ὑμῶν, εἰ μὴ τὰ χιάτα ταῦτα τὰ σβ´ καὶ τὰ ξξ ὡσαύτως τρικέφαλα, ἃ καὶ ὑμῖν εἰς τοὐμφανὲς παριστῶ. καὶ πρὸς τὸν ἐκεῖθεν κόσμον καὶ τὸν κοινὸν κριτὴν παραγίνομαι καταλιμπάνων ὑμῖν τὸν μοναχὸν Λεόντιον καὶ οἰκονόμον εἰς προεστῶτα ἀντὶ ἐμοῦ καὶ τῆς μονῆς ἁπάσης κύριον καὶ ἐξουσιαστήν, καθότι καὶ τὸ ἔργον αὐτοῦ καὶ ἡ ἀρετὴ τῆς γνώμης καὶ ὁ λόγος συμμαρτυρεῖ καὶ ἡ πολυχρόνιος αὐτοῦ ὑπακοὴ ἡ ἀνόθευτος, ἣν πρὸς ἐμὲ τὸν ταπεινὸν διὰ θεὸν ἐνεδείξατο καὶ ἡ πρὸς πάντας ἀγάπη καὶ πίστις καὶ ταπείνωσις ἄξιον τοῦτον τῆς ἀρχῆς καὶ πρὸ ἐμοῦ ἀπεφήνατο· εἰ δ᾽ ἴσως αὐτὸς οὐ προσδέξεται τοῦτο παρ᾽ ὑμῶν βιαζόμενος, δι᾽ ἣν ἔχει εὐλάβειαν, προστήσεται ἕτερος ἀντ᾽ αὐτοῦ, ὃν ὑμεῖς πάντες ἄξιον δοκιμάσητε, αὐτὸς δὲ ἔστω πάλιν ὡς πρῶτος ἀδελφὸς τῆς μονῆς ἰδιάζων καθ᾽ ἑαυτὸν καὶ τιμῆς καὶ θεραπείας τῆς παρ᾽ ὑμῶν ἀξιούμενος κατὰ τὴν αὐτοῦ θέλησιν δηλονότι, μετὰ δὲ τούτων πάντων παρακαλῶ ὑμᾶς καὶ νουθετῶ ἐκ ψυχῆς, πειθόμενοί μοι τέκνα ἐν πνεύματι καὶ πατέρες καὶ ἀδελφοί, τῆς ἐλεημοσύνης καὶ φιλοξενίας καὶ τῆς εἰς ἀλλήλους ἐν κυρίῳ ἀγάπης μὴ ἐπιλάθεσθε. αὕτη μου πρὸς ὑμᾶς ἐσχάτη παράκλησις καὶ παρακαταθήκη, ἣν καὶ δῴη ὑμῖν ἰσχὺν τοῦ φυλάξαι ὁ πανεύσπλαγχνος κύριος ἡμῶν Ἰησοῦς Χριστός, οὗ εἰς χεῖρας ὡς ἁμαρτωλὸς καὶ ἀνάξιος τὴν ψυχὴν παρατίθημι σήμερον. †

† Ταῦτα εἰπὼν ἀνεπαύσατο ἐν εἰρήνῃ τῇ κγ´ τοῦ σεπτεμβρίου μηνός, ἔτους ,ςχξς´, ἰνδικτιῶνος ς´, ἐπὶ τῆς βασιλείας κυροῦ Μανουὴλ τοῦ Πορφυρογεννήτου καὶ αὐτοκράτορος Ῥωμαίων τοῦ Κομνηνοῦ· ἐπιστώθη δὲ ἡ τοιαύτη διάταξις ἄνωθεν μὲν διὰ τῆς ἐκείνου οἰκειοχείρου προταγῆς, κάτωθεν δὲ διὰ τῆς ὑπογραφῆς καὶ σιγνογραφίας ἅμα τῶν μοναχῶν τῆς μονῆς παρουσιάζοντος, ὡς ἔφημεν ἄνωθεν, καὶ τοῦ πανιερωτάτου ἐπισκόπου Λέρου, κυροῦ Κωνσταντίνου, καὶ αὐτοῦ ἐν ταύτῃ καθυπογράψαντος †.

† Λεόντιος, μοναχὸς καὶ πρωτοπρεσβύτερος τῆς σεβασμίας μονῆς τοῦ ἠγαπημένου Θεολόγου τῆς Πάτμου, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Χριστόδουλος, μοναχὸς καὶ ἱερεὺς τῆς σεβασμίας μονῆς τοῦ ἠγαπημένου Θεολόγου τῆς Πάτμου οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Εὐθύμιος μοναχός, πρεσβύτερος τῆς αὐτῆς μονῆς καὶ ἐκκλησιάρχης, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Γερμανός, μοναχὸς καὶ ἱερεὺς τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Ἀντώνιος, μοναχὸς καὶ ἱερεὺς τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Μακάριος, μοναχός, πρεσβύτερος τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Ἀντώνιος, μοναχός, πρεσβύτερος τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Βασίλειος, μοναχός, πρεσβύτερος τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα. †.

† Εὐθύμιος, μοναχός, πρεσβύτερος τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Βασίλειος μοναχὸς τῆς αὐτῆς μονῆς οἰκείᾳ χειρὶ προυπέγραψα †.

† Ἰωάννης, μοναχὸς τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ προέταξα *(sic)* †.

† Ἀκάκιος, μοναχὸς τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Ἰώβ, μοναχὸς τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Νεόφυτος, μοναχὸς τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

† Θεοδώρητος, μοναχὸς τῆς αὐτῆς μονῆς, οἰκείᾳ χειρὶ ὑπέγραψα †.

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Σίγνον | Βλα- | Σίγνον | Ἰω- | Σίγνον | Εὐδο- | Σίγνον | Ζωσί- |
| σίου | μοναχοῦ | σὴφ | μοναχοῦ | κίου | μοναχοῦ | μου | μοναχοῦ |
| Σίγνον | Ἰω- | Σίγνον | Γερα- | Σίγνον | Λεον- | Σίγνον | Ἰακώ- |
| σὴφ | μοναχοῦ | σίμου | μοναχοῦ | τίου | μοναχοῦ | βου | μοναχοῦ |
| Σίγνον | Γερα- | Σίγνον | Θεο- | Σίγνον | Βαρ- | Σίγνον | Ἰακώ- |
| σίμου | μοναχοῦ | δούλου | μοναχοῦ | νάβα | μοναχοῦ | βου | μοναχοῦ |
| Σίγνον | Ἰσιδώ- | Σίγνον | Τιμο- | Σίγνον | Θω- | Σίγνον | Πέ- |
| ρου | μοναχοῦ | θέου | μοναχοῦ | μᾶ | μοναχοῦ | τρου | μοναχοῦ |
| Σίγνον | Γερα- | Σίγνον | Νικη- | Σίγνον | Νεοφύ- | Σίγνον | Λεον- |
| σίμου | μοναχοῦ | φόρου | μοναχοῦ | του | μοναχοῦ | τίου | μοναχοῦ |
| Σίγνον | Γερα- | Σίγνον | Θεοστη- | Σίγνον | Χριστο- | Σίγνον | Σάβ- |
| σίμου | μοναχοῦ | ρίκτου | μοναχοῦ | δούλου | μοναχοῦ | βα | μοναχοῦ |
| Σίγνον | Δωρο- | Σίγνον | Κυρίλ- | Σίγνον | Θω- | Σίγνον | Ἰωαννι- |
| θέου | μοναχοῦ | λου | μοναχοῦ | μᾶ | μοναχοῦ | κίου | μοναχοῦ |

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Σίγνον | Γεννα- | Σίγνον | Νικοδή- | Σίγνον | Ἰωαννι- | Σίγνον | Νεί- |
| δίου | μοναχοῦ | μου | μοναχοῦ | κίου | μοναχοῦ | λου | μοναχοῦ |
| Σίγνον | Λαυρεν- | Σίγνον | Λεον- | Σίγνον | Γρηγο- | Σίγνον | Συμεῶ- |
| τίου | μοναχοῦ | τίου | μοναχοῦ | ρίου | μοναχοῦ | νος | μοναχοῦ |
| Σίγνον | Ἐφραὶμ | Σίγνον | Κυρίλ- | Σίγνον | Σάβ- | Σίγνον | Νικο- |
| μονα- | χοῦ | λου | μοναχοῦ | βα | μοναχοῦ | λάου | μοναχοῦ |
| Σίγνον | Γαβρι- | Σίγνον | Ἰωάν- | Σίγνον | Μη- | Σίγνον | Νικο- |
| ὴλ | μοναχοῦ | νου | μοναχοῦ | νᾶ | μοναχοῦ | λάου | μοναχοῦ |
| Σίγνον | Γεωρ- | Σίγνον | Βλα- | Σίγνον | Ζώσι- | Σίγνον | Ἀρσε- |
| γίου | μοναχοῦ | σίου | μοναχοῦ | μα | μοναχοῦ | νίου | μοναχοῦ |
| Σίγνον | Εὐθυ- | Σίγνον | Ἀνδρο- | Σίγνον | Ξενο- | Σίγνον | Κο- |
| μίου | μοναχοῦ | νίκου | μοναχοῦ | φῶντος | μοναχοῦ | σμᾶ | μοναχοῦ |
| Σίγνον | Βαρθο- | Σίγνον | Ματ- | Σίγνον | Νικάν- | Σίγνον | Ἰωαν- |
| λομαίου | μοναχοῦ | θαίου | μοναχοῦ | δρου | μοναχοῦ | νικίου | μοναχοῦ |
| Σίγνον | Εὐλο- | Σίγνον | Νικο- | Σίγνον | Νικο- | Σίγνον | Προ- |
| γίου | μοναχοῦ | λάου | μοναχοῦ | λάου | μοναχοῦ | χόρου | μοναχοῦ |

† Κωνσταντῖνος, πρωτοπαπᾶς τῆς αὐτῆς νήσου Πάτμου, τὰ ἄνωθεν ἐν τῇ παρούσῃ διαθήκῃ γεγραμμένα μαρτυρῶ οἰκείᾳ χειρί. †

† Κωνσταντῖνος, ἱερεὺς τῆς αὐτῆς νήσου Πάτμου, τὰ ἄνωθεν ἐν τῇ παρούσῃ διαθήκῃ γεγραμμένα μαρτυρῶ οἰκείᾳ χειρί †.

† Κωνσταντῖνος, ἱερεὺς τῆς αὐτῆς νήσου Πάτμου, τὰ ἄνωθεν ἐν τῇ παρούσῃ διαθήκῃ γεγραμμένα μαρτυρῶ †.

† Ἰωάννης, μοναχὸς τῆς αὐτῆς μονῆς, ἔγραψα καὶ ὑπέγραψα †.

*Archet. chart. A tergo sunt aliae quattuor subscriptiones, inter quas subscriptio Constantini episcopi Leri, quae legi non possunt propter chartam agglutinatam. Flor. I. Nr. 8.*

## XXVIII. (6667—1158) mense septembri, ind. VII.

*Imperator Manuel Comnenus precante abbate Leontio confirmat privilegia et exemptiones monasterii tueturque eius iura contra vexationes exactorum insulae Sami.*

Δέησις Λεοντίου μοναχοῦ καὶ καθηγουμένου τῆς σεβασμίας μονῆς τῆς Πάτμου καὶ τῶν αὐτοῦ μοναχῶν, δούλων ἀναξίων.

† . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

πατὴρ ἡμῶν Χριστόδουλος τῷ πόθῳ τοῦ ἠγαπημένου τρωθεὶς καὶ τῇ τοῦ τόπου σεβασμιότητι κατ' ἄκρας ἀ . . . . . . καὶ μάλιστα, ὅτι καὶ σκληρὰ καὶ [ἐρημι]κωτάτη ἡ νῆσός ἐστι καὶ μακρὰν τῆς ἠπείρου ἀπῳκισμένη, ταύτην τε πρὸς τοῦ ἀειμακαρίστου βασιλέως καὶ πάππου τῆς ἁγίας βασιλείας σου ἐξῃτήσατο καὶ αἰτησάμενος ἔλαβε διὰ χρυσοβούλλου λόγου τῆς ἁγίας βασιλείας ἐκείνου, ἐλευθέραν καὶ αὐτοδέσποτον καὶ παντὶ [προσώπῳ] πρακτόρων ἢ καὶ ἀναγραφέων ἥκιστα βάσιμον· ὡς δῶρον γὰρ αὐτὴν καὶ ἱερὸν ἀνάθημα τῷ παρθένῳ καὶ Θεολόγῳ [κατὰ τὴν αἴτησιν] τοῦ ἁγίου πατρὸς τὴν τοιαύτην νῆσον τὴν Πάτμον σὺν τῇ Λειψῷ καὶ τοῖς δυσὶ προαστείοις κατὰ τὴν Λέρον διακειμένοις τὸ βασίλειον ἐκείνου κράτος ἀνέθετο, ἀποσπάσαν ταῦτα ἐξ ὁλοκλήρου τοῦ δημοσίου, ἀντιδόντος καὶ τοῦ πατρὸς τῷ μέρει τοῦ δημοσίου ὅσα κατὰ τὴν νῆσον τὴν Κῶ ἐκεῖνος ἐκέκτητο. καὶ δηλοῦται τὰ περὶ τούτων πλατύτερον ἐν τῷ δηλωθέντι χρυσοβούλλῳ λόγῳ τῆς ἐλευθερίας αὐτῶν. καὶ οὕτως ὁ πατὴρ τὴν ἄνικμον καὶ σκληρὰν ὥς τινα πίειραν καὶ εὐθαλεστάτην χώραν παραλαβὼν ἐν αὐτῇ τῇ σκοπιᾷ, ἔνθα ὁ τῆς βροντῆς υἱὸς τὰς τῆς χάριτος νέας πλάκας τῇ βροντοφώνῳ γλώττῃ λαξεύσας ἀφ' ὑψηλοῦ τὴν οἰκουμένην ἐμυσταγώγησε, τὴν καθ' ἡμᾶς δουλικήν σου μονὴν ἐκ κρηπίδων ἀνήγειρεν, ἐν ᾗ καὶ τὸ μνημόσυνον τῆς ἐκείνου τε ἁγίας βασιλείας ἀδιαλείπτως ἐπιτελεῖται, τοῦ ἀειμακαρίστου πατρὸς τῆς ἁγίας βασιλείας σου καὶ αὐτοῦ δὴ τοῦ ἐνθέου κράτους σου· πρὸς γὰρ τῇ εἰρημένῃ τῶν νήσων ἀφιερώσει καὶ δωρεαῖς διαφόροις αὐτοῦ τε τοῦ ἀοιδίμου πάππου τῆς βασιλείας σου καὶ κτήτορος καὶ τοῦ κληρονόμου τῆς ἐκείνου βασιλείας καὶ εὐσεβείας, τοῦ τρισαοιδίμου πατρὸς τοῦ ἐνθέου κράτους σου καὶ σοῦ τοῦ ὑπὲρ ἐκείνους περὶ τὴν εἰς τὰ θεῖα εὐποιΐαν θερμοῦ ἱκανῶς πεφιλοτιμήμεθα τυπώσεσι σίτου, νομισμάτων, ἐξκουσσείας πλοίων, δωρεαῖς παροίκων, ἐξκουσσείαις παντοίαις τῶν ἐκδουλευόντων ἐν τῇ μονῇ καὶ τῷ μείζονι καὶ πρώτῳ, τῇ ἐλευθερίᾳ καὶ τῇ ἀπὸ παντὸς προσώπου δημοσιακοῦ τε καὶ ἐκκλησιαστικοῦ καὶ παντὸς οἱουδήτινος ἀμεριμνίᾳ. ἀλλὰ τοῦτο μὲν τὸ μέγιστον ἀγαθόν, τὸ τῆς ἐλευθερίας φαμέν, καὶ τὸ ἀνενοχλήτως καθ' ἑαυτοὺς διαζῆν προσῆν ἡμῖν μέχρι τῆς ἐν τῇ Σάμῳ ἐνεργείας τοῦ Πηγονίτου. ἐξ ὅτου δὲ ἐκεῖνος τὴν τῆς Σάμου ἀρχὴν ὑπεζώσατο, τὰς καθ' ἡμῶν τοῦ διαβόλου ὑποβολὰς εἰσδεξάμενος οὐ μικρῶς ἡμᾶς διετάραξε, πλωΐμους ἐπιζητῶν ἀφ' ἡμῶν, ὧν οὐδὲ ὄνομά ποτε ἠκούσαμεν, ἐξ ὅτου ἡ μονὴ συνέστη, καὶ συνδοσίας καὶ τὰ ὑφ' ἡμᾶς νησίδια κουρσείων διὰ κατέργων ἰδίων καὶ ἐξελαστικῶν καὶ παντοίως ἀδικῶν καὶ συντρίβων ἡμᾶς μηδεμίαν μετουσίαν ἀφ' ἡμῖν κεκτημένος, μηδὲ ὑπὸ

τὴν οἰκείαν ἡμᾶς εἴχειν ἀρχήν. πρὸς ὃν οἱ ἐφεξῆς πράκτορες ὡς εἰς ἀρχέτυπον ἀφορῶντες ἅμα τῷ τὴν Σάμον καταλαβεῖν σανδάλιον πρὸς τὴν Πάτμον ἐξαποστέλλουσι τὸν ἡγούμενον ἄξον πρὸς ἑαυτούς, ὡς ἐπί τισιν ἑαλωκότα δεινοῖς· καὶ μετὰ τὸ ἀνελθεῖν αὐτὸν εὐθὺς ἄλογα τούτῳ ἐπιζητοῦσι «καθὰ καὶ τῷ Πηγονίτῃ, φησί, δεδώκατε καὶ νομίσματα, ὅσα ἐκεῖνος ἐξ ὑμῶν ἀνελάβετο· οὐδὲ γὰρ ἔλαττον, φησίν, ἐκείνου ἐγώ, εἰ μὴ καὶ μᾶλλον περίβλεπτος καὶ πλείονα ἐκείνου ὀφείλω λαβεῖν.» καὶ ταῦτα μὲν ἐκεῖνοι. εἰ δὲ περὶ χρυσοβούλλων καὶ ἐλευθερίας καὶ προσταγμάτων τολμήσει ὁ ἡγούμενος λόγον ἀνακινῆσαι, ὡς τὰ μέγιστα ὑβρίσας τὸν δοῦκα εὐθύνεται, παλαιοῦ οὐρανοῦ ἀποκλάσματα ταῦτα ἀποκαλοῦντος αὐτοῦ. καὶ ἁπλῶς τῶν προσόντων ἡμῖν δικαιωμάτων καταφρονοῦντες οἱ πράκτορες τὰ μέγιστα ἡμᾶς ἀδικοῦσι καὶ καταβλάπτουσι. δεόμεθα οὖν τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου λύσιν θείαν καὶ προσκυνητὴν πορισθῆναι ἡμῖν διοριζομένην μετὰ αὐστηρίας, ἀπέχειν ἀφ' ἡμῶν τὸ καθόλου τὸν πράκτορα Σάμου, ὡς μηδὲ μετοχήν τινα κεκτημένον ἐν τῇ καθ' ἡμᾶς μονῇ καὶ πᾶσι τοῖς ὑπ' αὐτήν, φυλαττομένης ἡμῖν τῆς διὰ χρυσοβούλλων δεδωρημένης ἡμῖν ἐλευθερίας ἀκαινοτομήτου κατὰ τὸ ἀκέραιον ψυχικὸν τοῦ ἐνθέου κράτους σου, καὶ διατηρεῖσθαι τὴν μονὴν τὸ καθόλου ἀνέπαφον κατὰ τὴν δύναμιν τῶν προσόντων ταύτῃ δικαιωμάτων, καὶ μήτε τὸν πράκτορα Σάμου μήτε τινὰ ἕτερον ἀδικεῖν ἡμᾶς ἢ ἐπηρεάζειν ἢ καταβλάπτειν τὸ σύνολον, περὶ ὧν ἐν τῇ ὑπομνήσει ἡμῶν ἀπηριθμησάμεθα, ποινῆς ὁρισθείσης παρὰ τῆς ἁγίας βασιλείας σου κατὰ τῶν καταφρονητῶν τῶν βασιλικῶν προσταγμάτων καὶ αὐτῆς τῆς ἐξενεχθησομένης λύσεως τῆς ἁγίας βασιλείας σου ἀξίας τῆς τοιαύτης τούτων καταφρονήσεως, ἥτις καὶ δηλοποιηθήσεται τῇ ἁγίᾳ βασιλείᾳ σου δι' ἀρχιερατικοῦ σημειώματος· οὕτω γὰρ αὖθις ἡ δουλική σου μονὴ τὴν προτέραν ἐλευθερίαν ἀπολαβοῦσα ἐκτενέστερον τὰς ὑπὲρ τοῦ κράτους σου εὐχὰς τῷ θεῷ προσάγειν οὐ παύσεται. †

† Ὡς δοῦλοι ἀνάξιοι τολμήσαντες ἐδεήθημεν. †

## Λύσις.

† Ἡ βασιλεία μου τὴν δεδωρημένην ἐλευθερίαν καὶ ἐξκουσσείαν τῇ καθ' ὑμᾶς σεβασμίᾳ μονῇ διὰ τοῦ ἐν τῇ ὑπομνήσει ὑμῶν δηλουμένου χρυσοβούλλου καὶ λοιπῶν βασιλικῶν προσταγμάτων ἀκαινοτόμητον προσεῖναι ὑμῖν εὐδοκεῖ, εἰ μὴ τὰ τοιαῦτα διὰ μεταγενεστέρας προστάξεως ἀνετράπησαν, καὶ μήτε τὸν κατὰ τὴν ἡμέραν πράκτορα τῆς νήσου Σάμου μήτε τινὰ ἕτερον ἐπηρεαστικόν τε καὶ βλαπτικὸν κατὰ τοῦ μέρους τῆς καθ' ὑμᾶς σεβασμίας μονῆς ἐνδείκνυσθαι, ἀλλ' ἀπέχειν ἀφ' ὑμῶν κατὰ τὰς δυνάμεις καὶ περιλήψεις τῶν προσόντων ὑμῖν

δικαιωμάτων. εἰ γὰρ καὶ ὁ ἐν τῇ ὑπομνήσει ὑμῶν δηλούμενος Πηγονίτης, ὁ χρηματίσας πράκτωρ τῆς Σάμου, οὐ μικρῶς ὑμᾶς, ὡς ὑπεμνήσατε, ἀδικήσας ὑπόδειγμα ὡσανεὶ κατέλιπε τῆς καθ' ὑμῶν ἀδικίας τὴν οἰκείαν πρᾶξιν, ἀλλ' ἡ βασιλεία μου τὰ καθ' ὑμῶν παρ' ἐκείνου ἀδίκως γενόμενα μὴ εἰς παράδειγμα κεῖσθαι τοῖς μετ' αὐτὸν βουλομένη διορίζεται, μηδένα τοῦ λοιποῦ τολμῆσαι ἄδικόν τι καὶ ἐπηρεαστικὸν καθ' ὑμῶν ἐνδείξασθαι, εἰ μὴ βούλεται ὁ παρὰ τὴν παροῦσαν λύσιν τῆς βασιλείας μου τολμήσων ποιῆσαι, κἂν ὅστις ἂν καὶ εἴη, σφοδρᾶς πειραθῆναι τῆς ἐκ τῆς βασιλείας μου ἀγανακτήσεως καὶ τὸ ἐξ ὑμῶν ἀδίκως ἀφαιρεθὲν εἰς τὸ τετραπλάσιον ἀντιστρέψαι. καὶ προσέστω τῇ καθ' ὑμᾶς μονῇ ἡ παροῦσα λύσις τῆς βασιλείας μου εἰς ἀποτροπὴν τῶν βουλομένων ἀδικεῖν καὶ ἐπηρεάζειν ὑμᾶς, ἐμφανίζεσθαι ὀφείλουσα τούτοις καὶ ἀντιστρέφεσθαι αὖθις ὑμῖν εἰς ἀσφάλειαν· †

† Εἶχε τό· μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος ζ' δι' ἐρυθρῶν γραμμάτων τοῦ βασιλέως [καὶ] τὴν διὰ κηροῦ συνήθη σφραγῖδα. τό· διὰ τοῦ Ἀγωθεοδωρίτου Μιχαήλ. καὶ ἄνωθεν τό· διὰ τοῦ . . . . . κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ κατὰ μῆνα ὀκτώβριον ἰνδικτιῶνος ζ'. καὶ κάτωθεν τό· διὰ τοῦ Ἀλυάτου Θωμᾶ κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ ἐπὶ τοῦ βεστιαρίου κατὰ μῆνα ὀκτώβριον ἰνδικτιῶνος ζ'. †

† Τὰ παρόντα ἴσα τῆς τε ὑπομνήσεως τῶν μοναχῶν καὶ τῆς ἐπ' αὐτῇ ἐξενεχθείσης θείας καὶ προσκυνητῆς ἐπιλύσεως μετὰ τῶν ἐμφανισθέντων μοι πρωτοτύπων ἀντιβαλὼν καὶ ἰσάζοντα εὑρὼν ὑπέγραψα. †

† Κωνσταντῖνος, ὁ εὐτελὴς ἐπίσκοπος Λέρου. †

*Exemplar chart. Flor. II. nro 6.*

## XXIX. 6667—1158, mense octobri ind. VII.

*Patriarcha Lucas Chrysoberges iterum confirmat libertatem et ius stauropegicum monasterii.*

† Εἰ δὲ καὶ πόλιν τις ὀχυρὰν ἐπὶ πέτρας ἱδρύσαιτο καὶ τεῖχος αὐτῇ περιθήσειε καὶ περιτειχίσειε καὶ πύργους ὑψηλοτάτους σοφίσαιτο καὶ φάραγξι ταύτην βαθείαις καὶ τάφροις κύκλῳ κατασφαλίσαιτο καὶ πανταχόθεν τὸ ἀνάλωτον ταύτῃ ἐπιβραβεύσειε καὶ δαψιλέσι καὶ φιλοτίμοις ἀναλώμασι χαρίσαιτο, εἶτα πολεμίων ἐφόδου γενομένης λάθρα τις τῶν ἐν τῇ πόλει τούτοις ὁμιλήσειε καὶ πυλίδας



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΘΟΔΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τινὰς ὑπανοίξας ἔνδον εἰσδείξαιτο, οἱ δέ, λείαν τὰ τῆς πόλεως θέμενοι καὶ τὰ λάφυρα λαβόντες καὶ τοὺς ἔνδον ἀνδραποδισάμενοι, τὴν μὲν πόλιν καταλείψουσιν ἀοίκητον τὰ πλεῖστα τῶν μερῶν αὐτῆς καὶ τὰ ἰσχυρότερα κατερειπώσαντες, εἰς δὲ τὰ οἴκαδε πάλιν παλινοστήσουσιν, ἆρά γε οὐκ ἄν τις τὸ κατασπεσὸν ταύτης καὶ αὖθις ἀνεγείρειε καὶ τὴν προτέραν αὐτῇ μετὰ πολλῆς τῆς ἐπιμελείας ἐπαναγάγῃ ἀσφάλειαν καὶ τοῖς πυργώμασι καὶ ταῖς ἐπάλξεσι σπουδαίως ἀσφαλίσαιτο, ἀλλ' ἅπαξ πτῶμά τι καθοῦσαν δυνατώτατον εἰς τέλος κειμένην παρελεύσεται, καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας εἰς προνομὴν τοῖς βουλομένοις κεῖσθαι καταλίποι καὶ τὴν δυνατὴν αὐτοῖς δεομένοις καὶ θερμῶς ἀντιβολοῦσιν οὐκ ἂν ἐπὶ τῇ τῆς ἐλευθερίας ἀνακτήσει καὶ τῇ τῶν ὀχυρωμάτων οἰκοδομῇ συνεισενέγκῃ βοήθειαν, ἀλλ' ἐπὶ πάντας τοὺς τὴν πόλιν οἰκοῦντας τὴν τοῦ ἑνὸς ἐκείνου κακίαν διαβαίνειν εἰς τὸ ἀπέραντον συγχωρήσειε, καὶ ὃ κατὰ τὸ σπάνιον καὶ ἐφάπαξ ὁ ποιητὴς συμβαίνειν ἐγνωμάτευσε, τοῦτο καθόλου καὶ εἰσαεὶ τελεῖσθαι συγχωρήσειεν; οὐμενουν· (ἀσυμπαθὲς γὰρ τὸ τοιοῦτον καὶ ἀφιλάνθρωπον), ἀλλά γε καὶ τῶν προτέρων οἰκοδομημάτων ἐπιμελήσαιτο καὶ ἕτερα προσεπινοήσαιτο καὶ πανταχόθεν αὐτῇ τὸ ἀνάλωτον ἢ καὶ τὸ ὅλως ἀνεπιβούλευτον κατὰ τὸ δυνατὸν μηχανήσαιτο. ἀλλ' εἰς τί ταῦτα; τοιοῦτόν τι συμπέπτωκε καὶ τῇ κατὰ τὴν νῆσον Πάτμον διακειμένῃ σεβασμίᾳ μονῇ καὶ ἐπ' ὀνόματι τοῦ ἠγαπημένου μαθητοῦ καὶ παρθένου τοῦ Θεολόγου Ἰωάννου καὶ ἱδρυμένῃ καὶ τιμωμένῃ· προσῆν μὲν γὰρ αὐτῇ χρυσόβουλλος λόγος τοῦ ἐν μακαρίᾳ τῇ λήξει γεγονότος βασιλέως ἡμῶν καὶ πάππου τοῦ θεοστεφοῦς ἡμῶν αὐτοκράτορος, τοῦ ἀοιδίμου δηλαδὴ κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, οὐ βασιλικῆς μόνον καὶ παντοίας σεκρετικῆς χειρὸς τὴν ὅλην νῆσον ταύτην ἀπαλλάττων καὶ μόνῳ ταύτην καθιερῶν τῷ θεῷ καὶ τῷ ἐν τῇ μονῇ τιμωμένῳ, ἀλλὰ καὶ αὐτοδέσποτον καὶ αὐτεξούσιον αὐτὴν συντηρεῖσθαι διακελευόμενος καὶ μηδενὶ προσώπῳ καθ' οἱονδήτινα τρόπον ὁπωσδήποτε καθυπάγεσθαι, ἀλλ' ἐν πᾶσιν ἔχειν τὸ ἐλεύθερον καὶ παντοίως αὐτῇ τὸ ἀνεπηρέαστον περιποιούμενος, καθὼς ἀπ' αὐτοῦ τοῦ χρυσοβούλλου τῷ τοῦτο διελθόντι φιλοπονώτερον καταμαθεῖν ἀκριβέστερον ἔξεστι. γέγονε δὲ ἐπὶ τῷ καλῷ τούτῳ θεμελίῳ καὶ ὑπόμνημα τοῦ τῷ τότε τὸν πατριαρχικὸν θρόνον ἰθύνοντος, τοῦ μακαριωτάτου κυροῦ Ἰωάννου, κατακολουθοῦν μὲν καὶ πᾶσι τοῖς τῷ βασιλικῷ χρυσοβούλλῳ ἐμφερομένοις, παρεχόμενον δὲ ταύτῃ τὸ ἀνεπηρέαστον καὶ ἀπὸ τῶν κατὰ καιροὺς ἀποστελλομένων ἐξάρχων καὶ παντὸς ἑτέρου προσώπου, ἀποκλεῖον δὲ καὶ τὴν εἴσοδον πᾶσι τοῖς ἑτέροις ἀρχιερεῦσι τοῖς ὑφ' ἑαυτοὺς ἄγειν τὴν μονὴν ἐπιχειροῦσι διὰ τὸ ἐν τῇ κατ' αὐτοὺς ἐνορίᾳ τυγχάνειν αὐτήν, ὥστε καὶ ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ ἱδρυμένην καὶ τὴν ἀναφορὰν τῶν κατὰ

καιροὺς ἁγιωτάτων πατριαρχῶν ποιεῖσθαι ὀφείλουσαν. καὶ ἦν αὐτῇ πανταχόθεν τὸ ἀπερικλόνητον, οἷά τισι δυσὶν ὀχυροῖς τειχίοις, τῷ τε χρυσοβούλλῳ περιπεφραγμένῃ καὶ τῷ ὑπομνήματι, καὶ διήρκεσε τὰ τῆς ἐλευθερίας ἐπὶ πολὺ καὶ οὐδεὶς ὁ ταύτην λυμηνάμενος. ἐπεὶ δὲ Θεόκτιστός τις μοναχὸς τῆς ἡγουμενείας τῶν ἐν αὐτῇ θεοφιλῶς ἀσκουμένων μοναχῶν ἐπελάβετο, ἀνὴρ ἁπλοϊκώτερος καὶ ἀφελέστερον περὶ τὴν τῶν πραγμάτων ἀντίληψιν διακείμενος, καὶ τὰ τῷ τῆς Κωνσταντινουπόλεως ὑψηλοτάτῳ θρόνῳ προσόντα προνόμια παντάπασιν ἀγνοῶν, γέγονε δὲ κατὰ ταὐτὸν καὶ Ἰκαρίας ἐπίσκοπος, πολὺ τῆς τοῦ καθηγουμένου διαφέρων ἀκεραιότητος, κακεντρεχὴς ἀνὴρ καὶ τὰ ἀλλότρια σφετεριζόμενος δίκαια, καὶ πολύς, ὡς οἱ μοναχοί φασι, τῷ Θεοκτίστῳ ἐπέκειτο, ἕρμαιον σχὼν τὴν τούτου ἀφέλειαν, καὶ πόδα κατεπείγων ἐπιβαλεῖν τῇ μονῇ προφάσει ψυχρᾷ, τῷ ἐν τῇ κατ' αὐτὸν ἐνορίᾳ τυγχάνειν τὴν μονὴν χρώμενος. ὁ δὲ καθηγούμενος τοιοῦτος ὤν, οἷον αὐτὸν ἄνωθεν εἰρήκαμεν, ἀντεπεξελθεῖν τῷ ἐπισκόπῳ οὐκ ἠθέλησε καὶ πάντῃ διά τε τοῦ χρυσοβούλλου λόγου καὶ τοῦ ὑπομνήματος ἐπιτειχίσαι τούτῳ τὴν εἰς τὴν μονὴν πάροδον. τί γίνεται; ἧκον εἰς διαλύσεις ἑκάτεροι καὶ συμφωνίας πρὸς ἀλλήλους περὶ τῶν ἑτέροις διαφερόντων ἐξέθεντο, καὶ τῶν τοῦ πατριαρχικοῦ θρόνου δικαίων ὁ καθηγούμενος καὶ οἱ ὑπ' αὐτὸν μοναχοί, μηδεμίαν ἄδειαν τούτου ἔχοντες, τῷ ἐπισκόπῳ ἐξέστησαν, καὶ τὸ αὐτὸν ἀντὶ τοῦ κατὰ καιροὺς πατριάρχου Κωνσταντινουπόλεως ἀναφέρειν κατεδέξαντο, ταῦτα καταθέμενοι καὶ τῷ ἐπισκόπῳ χαρισάμενοι, ἃ οὐδ' αὐτοῖς ὑπὸ τῶν τὴν ἐλευθερίαν χαριζομένων ἐγγράφων ἐδωρήθησαν καὶ οὕτως τῷ μεγίστῳ μέρει τὴν προσοῦσαν αὐτοῖς ἐλευθερίαν κολοβώσαντες καὶ τῶν πατριαρχικῶν δικαίων καθυφέμενοι, τῶν πρὸς ἀλλήλους ζητήσεων ἐπαύσαντο. ἔσχε μὲν οὕτως ταῦτα. καὶ δὴ καὶ ἔγγραφα περὶ τῆς κοινῆς αὐτῶν ἀρεσκείας διαλαμβάνοντα ἀφ' ἑκατέρων πρὸς ἀλλήλους προβεβήκασι καὶ οἱ παντάπασι τὸ πρῶτον ὄντες ἐλεύθεροι τοῖς ἐπισκοπικοῖς δικαίοις τὸν οἰκεῖον αὐχένα ὑπήγαγον, τοῦ αὐτονόμου τὸ ὑπὸ δουλείαν εἶναι προελόμενοι, καὶ τῆς πατριαρχικῆς ἀναφορᾶς τὴν ἐπισκόπου Ἰκαρίας ἀλλαξάμενοι. ἀλλ' ὀψέ ποτε ἤδη καὶ ἀμφοτέρων τῶν τότε διαλυσαμένων τῶν ἐνθένδε μεταθεμένων, καὶ ἑτέρων τὰς ὑπ' ἐκείνων διοικουμένας ἀρχὰς διαδεξαμένων, τὴν ἁμαρτίαν αὐτῶν οἱ μονάζοντες ἐγνώκεισαν, καί, ὡς οὐκ ἐπὶ καλῷ αὐτοῖς τὰ τῆς διαλύσεως γέγονε, συνεωράκεισαν. τοίνυν καὶ τὴν ἀρχῆθεν αὐτῶν ἐλευθερίαν ἀνανεούμενοι καὶ προσῆλθον τῇ ἡμῶν μετριότητι καὶ τὰ ὑπὸ τοῦ αὐτῶν ἡγουμενεύοντος τότε, τοῦ Θεοκτίστου, πραχθέντα διεσάφησαν καὶ πάντα τὰ προβάντα πρὸς ἔπος διηγήσαντο, τὴν τοῦ σφῶν ἡγουμένου ἁπλότητα, τὴν τοῦ τότε Ἰκαρίας ἐπίθεσιν, τὴν οἰκείαν κατάθεσιν καὶ τὴν τοῦ πατριαρχικοῦ δικαίου πρὸς

τὸν ἐπίσκοπον ἐκχώρησιν καὶ ἀνατραπῆναι μὲν ταῦτα, ἅτε καὶ ἀνίσχυρα ὄντα, ὡς ἐξ ἰδιωτείας γεγονότα τοῦ ἡγουμενεύοντος ᾐτήσαντο, ἐπιβραβευθῆναι δὲ αὖθις τὴν ἐλευθερίαν καὶ ἀνανεωθῆναι ὡς τὸ πρότερον. ὡς οὖν ταῦτα ἔλεγον, οὐδὲ τὴν ἡμῶν εὗρον ἀνανεύουσαν μετριότητα, κατακολουθοῦσαν μὲν καὶ τῷ βασιλικῷ χρυσοβούλλῳ καὶ τῷ πατριαρχικῷ ὑπομνήματι, τοῖς καὶ προκομισθεῖσιν ἡμῖν καὶ ἀναγνωσθεῖσιν, ἀντιποιουμένην δὲ καὶ τῶν τοῦ πατριαρχικοῦ θρόνου προνομίων, καὶ τὴν τῶν ἐπισκόπων Ἰκαρίας ἀναστέλλουσαν ἰταμότητα. διοριζόμεθα τοίνυν διὰ τοῦ παρόντος ἡμῶν ὑπομνήματος, ἔχειν μὲν τὸ ἑδραῖον καὶ ἀμετάτρεπτον καὶ τὰ πρώην προσόντα αὐτῇ ἐπ' ἐλευθερίᾳ δικαιώματα, ὧν πολλάκις ὁ λόγος ἐμνημόνευσεν, ἀνατετραμμένα δὲ εἶναι ἀπ' ἐντεῦθεν καὶ ὡς μηδὲ γεγονότα λογίζεσθαι, ὡς αὐτοῖς ἐναντιούμενα καὶ μηδαμῶς ἀκριβείας ἢ ἀκολουθίας τινὸς ἐχόμενα τὰ μεταξὺ τοῦ ἡγουμένου Θεοκτίστου καὶ τοῦ ἐπισκόπου Ἰκαρίας γενόμενα ἔγγραφα, ἀναμφιβόλως δὲ ἐν τῇ μονῇ τὸ τοῦ κατὰ καιροὺς πατριάρχου ἀναφέρεσθαι ὄνομα, καθὼς καὶ τὸ προσὸν τῇ μονῇ πατριαρχικὸν διαλαμβάνει ὑπόμνημα, τοῖς δὲ ἑτέροις ἀρχιερεῦσι καὶ αὐτῷ τῷ Ἰκαρίας ὑφ' ἑαυτοὺς ἄγειν πειρωμένοις αὐτήν, διὰ τὸ ἐν τῇ καὶ αὐτοὺς ἐνορίᾳ, ὥς φασι, τυγχάνειν αὐτήν, ἐπιζυγοῦμεν τὴν εἰς τὴν μονὴν πάροδον καὶ ἄβατον ταύτην εἶναι παντάπασιν αὐτοῖς καθ' οἱονδήτινα τρόπον τῶν μοναχῶν μὴ βουλομένων παρακελευόμεθα καὶ ἀφορισμῷ αὐτοὺς ἐν ἁγίῳ ὑποβάλλοντες πνεύματι, εἴγε καὶ μετὰ ταύτην τὴν ἡμετέραν γραφὴν ὁπωσδήποτε καθ' οἱονδήτινα τρόπον παρασαλεῦσαι τὰ τῆς ἐλευθερίας τῆς μονῆς ἐπιχειρήσουσιν, ἀλλ' οὐδὲ τῷ ἐγγράφῳ χρήσασθαι τῷ τοῦ ἡγουμένου ἐπὶ συστάσει τῶν οἰκείων λόγων δυνήσεται πώποτε ὁ κατὰ καιροὺς Ἰκαρίας, διὰ τὸ σχολὴν αὐτοῦ ὑπὸ τῆς ἡμῶν καταψηφισθῆναι μετριότητος παντελῆ, ἅτε μηδὲ δυναμένου τοῦ ἡγουμένου ἐπὶ τοῖς πατριαρχικοῖς δικαίοις διαλύεσθαι, καὶ αὐτόθεν ἀνατετραμμένου ὄντος ἀπό τε τοῦ βασιλικοῦ χρυσοβούλλου καὶ τοῦ πατριαρχικοῦ ὑπομνήματος. καθόλου τοίνυν τοῦτο διοριζόμεθα, τὸ ἀπαράθραυστα μὲν καὶ ἀπαρεγχείρητα διαμένειν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους τό τε χρυσόβουλλον τὸ ἐπ' ἐλευθερίᾳ τῆς μονῆς ἐκφωνηθὲν καὶ τὸ πατριαρχικὸν ὑπόμνημα καὶ πάσας τὰς ἐν αὐτοῖς διαστίξεις ἀκεραίους φυλάττεσθαι. εἰ τι δὲ παρὰ ταῦτα γέγονεν ἕτερον τούτοις ἐναντιούμενον ἢ κατὰ μέρος ἢ καὶ καθ' ὁλόκληρον, ἄπρακτον εἶναι καὶ ὡς μηδὲ ὅλως γεγονὸς λογίζεσθαι, κἂν πεπιστωμένον ἐστὶ κατὰ τὸ σύνηθες, κἂν ἐκ μόνου τοῦ ἡγουμένου προβέβηκε, κἂν ἐξ ἀρεσκείας τῶν ἄλλων μοναχῶν, κἂν οἰκειοθελῶς καὶ αὐτοπροαιρέτως τοῦτο πεποιήκασι, κἂν προστίμοις τὰς συμφωνίας ἐνεπέδωσαν· οὔτε γὰρ τῷ ἡγουμένῳ ἐξῆν τὰ πατριαρχικὰ ἑτέροις χαρίζεσθαι δίκαια, οὔτε τῷ ἐπισκόπῳ λαμβάνειν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ι.Δ. της Ι.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα, καὶ μετ' εὐγνωμοσύνης διδόντων ἀπὸ τῶν μηδεμίαν ἐξουσίαν ἐχόντων ταῦτα χαρίζεσθαι. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ὑπόμνημα τῇ αὐτοχείρῳ ἡμῶν ὑποσημασίᾳ καὶ τῇ διὰ μολύβδου βούλλῃ βεβαιωθὲν ἐπεδόθη τοῖς μοναχοῖς πρὸς ἀσφάλειαν. μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος ζ', ἔτους ,ςχξζ'. †

† Ὁ ταπεινὸς μοναχὸς Λουκᾶς καὶ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης. †

*Edidit I. Sakkelion in periodico* Εὐαγγελικὸς κήρυξ *anno VII (1863) p. 321—327. Flor. II. nro 22. Exemplar antiquum nro 23, confirmatum subscriptione episcopi Mileti Manuel. Nro 24. aliud exemplar scriptum a Nicephoro Chartophylace, aliud recens nro 25 scriptum a Ioachim* Φλωρέζη.

## XXX. (6669—1161) mense maio, ind. IX.

*Imperator Manuel Comnenus donat monasterio libras duo nummorum ex reditu Cretae conceditque monachis facultatem emendi frumentum in insula.*

† Τοῖς ἐνασκουμένοις ἐν τῇ κατὰ τὴν νῆσον Πάτμον ἱδρυμένῃ σεβασμίᾳ μονῇ ἐπ' ὀνόματι τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου [τοῦ Θεολόγου . . . . . . . . . . . ὅ]πως παρὰ τῶν ἐν βασιλεῦσιν ἀοιδίμων, τοῦ τε πάππου τῆς βασιλείας μου καὶ τοῦ αὐθέντου καὶ πατρὸς αὐτῆς, ἀλλὰ δὴ καὶ παρ' [αὐτῆς τῆς βασιλείας μου παρέχωνται αὐτοῖς] σίτου μόδιοι ἑπτακόσιοι· ἐπεὶ δὲ διά τινα συμπεσόντα ἐπὶ ταῖς κατὰ τὴν νῆσον Κρήτην . . . . . . εσιν, ἐξ ὧν γεννήματα . . . . . . . . . . . . . . . . . . . . . . . χερσὶ τοῖς τοιούτοις ἦν μοναχοῖς, τὸ τὸν ἐκεῖθεν αὐτοῖς τυπωθέντα, καθὼς εἴρηται, σῖτον ἀναλαμβάνεσθαι, καὶ διὰ τοῦτο ὁ νῦν τὴν τῆς [εἰρημένης σεβασμίας μονῆς προ]στασίαν πεπιστευμένος, τιμιώτατος μοναχὸς Λεόντιος, καταλαβὼν πρὸς τὴν βασιλείαν μου, ᾐτήσατο σχολάσαι μὲν τὰς ἐπὶ ταῖς . . . . . . . . . . . . . . . . . μονῇ βασιλικὰς προστάξεις, τυπωθῆναι δὲ αὐτῇ ἀντὶ τῆς [τοια]ύτης τοῦ σίτου ποσότητος νομισματικὴν δόσιν ἀπὸ τοῦ ἀκροστίχου τῆς αὐτῆς νήσου Κρή[της . . . . . .] διὰ τῶν οὕτω τυπωθησομένων αὐτοῖς νομισμάτων ἐξωνεῖσθαι ἀπὸ τῆς νήσου Κρήτης εἴδη δι[άφορα . . . . . . . . . . . . . τυπω]θῆναι [αὐ]τοῖς . . . . . . . . . [εἴ]δεσι κομμερκίου, ὅσον ἂν ἡ βασιλεία μου εὐδοκήσῃ ἐπέκεινα τοῦ φθάσαντος ἀποχαρισθῆναι αὐ[τοῖς σίτου] ἐξωνουμένων εἰδῶν διὰ τῶν [τ]υπω-[θέντων παρὰ τοῦ] πατρὸς τῆς βασιλείας μου καὶ αὐτῆς τῆς βασιλείας μου τεσσαράκοντα ὀκτὼ νομισμάτων τρικεφάλλων καινουργιῶν, ἡ βασιλεία μου τὴν τοῦ τοιούτου καθηγουμένου αἴτησιν [ἀποδεξαμένη διορίζεται διὰ] τῆς παρούσης

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Εργ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006